me solam esse causam bonorum quæ vobis sunt, vosque per me viuere. ſ. ἐάσατέ με, sinite me, ne ita desæuiatis. εἰ δὲ μή, alioqui &c. ἅπαντα. ſ. κατὰ

A in omnibus iis quæ nunc sentis, & dicis. ἐγώ, vel ad οἶμαι reducitur, vel ante ἀποδείξειν pro ἐμὲ Atticè ponitur.

Εἰ τοὺς δικαίους φὴς ποιήσειν πλουσίους.
Βλ. Ὦ τύμπανα καὶ κύφωνες, οὐκ ἀρήξετε;
Πε. Οὐ δεῖ σχετλιάζειν καὶ βοᾶν, πρὶν ἂν μάθῃς.
Βλ. Καὶ τίς δύναιτ' ἂν μὴ βοᾶν, ἰοὺ, ἰοὺ,
Τοιαῦτ' ἀκούων; Πε. Ὅστις ἐστὶν εὖ φρενῶν.
B Χρ. Τί δῆτά σοι τίμημ' ἐπιγράψω τῇ δίκῃ,
Ἐὰν γ' ἁλῷς. Πε. Ὅ,τι σοι δοκεῖ. Βλ. Καλῶς λέγεις.
Πε. Τὸ γὰρ αὐτό γ' ἂν ἡττᾶσθε καὶ σφῷ δεῖ παθεῖν.
Βλεψ. Ἱκανοὺς νομίζεις δῆτα θανάτους εἴκοσιν;
Χρ. Ταύτῃ γε. νῷν δὲ δύ' ἀποχρήσουσιν μόνω.
C Πε. Οὐκ ἂν φθάνοιτον τοῦτο πράττοντ'. ἢ τί γ' ἂν
Ἔχοι τις ἂν δίκαιον ἀντειπεῖν ἔτι.

*Velis efficere.* Bl. *ô Cyphones, ô tympana,*
*Vbi estis vos? nihilne mihi succurritis?*
Pa. *Non æquum est clamitare & indignarier,*
*Priusquam, vt res sese habeat, rectè didiceris.*
Bl. *Et quis possit nō exclamare, heu, heu mihi,*
*Si ista audiat?* Pa. *Non clamet, qui rectè sapit.*
Ch. *Sin succumbas, quam tibi mulctam irrogauero?*
Pa. *Quamcunque lubuerit.* Bl. *Rectè sanè hoc ais.*
Pa. *At enim si vos vincamini, multam mihi*
*Eandem dabitis.* Bl. *Viginti mortes satin?*
Ch. *Huic satis at nobis solæ sufficiunt duæ.*
Pa. *Causam haud potestis dicere, quin faciatis hæc:*
*Aut aliquis habeat, quod iustè opponat mihi.*

Σχόλια. Ὦ τύμπανα] τοῦτό φησιν ὡς τῆς πενίας τῶν τοιούτων ἀξίας οὔσης. τύμπανα ξύλα, ἐφ' οἷς ἐτυμπάνιζον, ἐχρῶντο γὰρ ταύτῃ τῇ τιμωρίᾳ, ἢ βάκλα παρὰ τὸ τύπτειν. ἤγουν ξύλα οἷς τύπτονται ἐν τοῖς δικαστηρίοις οἱ τιμωρούμενοι. κύφων δὲ δεσμός ἐστι ξύλινος. ὃν οἱ μὲν D κλοιὸν ὀνομάζουσιν. οἱ δὲ καλιόν. ἔνθεν καὶ ὁ πονηρὸς ἄνθρωπος κύφων. τάσσεται δὲ κἀπὶ πάντων τῶν δυσχερῶν καὶ ὀλεθρίων, καὶ κυφωνισμὸς ἐπὶ τῶν τιμωριῶν. Ἀρχίλοχος δὲ, ἀντὶ τοῦ κακὸς καὶ ὀλέθριος. εἴρηται δὲ κύφων παρὰ τὸ τοὺς δεσμίους ἀναγκάζεσθαι κύφειν, διπλῶς ἅμα κολαζομένους, τῇ τε τοῦ τραχήλου πιέσει, καὶ τῷ μηδαμῶς ἀνανεύειν δύνασθαι. ἢ ἄλλως ξύλα ἐστὶν ἐπιτιθέμενα εἰς τοὺς τένοντας τῶν καταδίκων ἵνα μὴ εὐρῶσιν ἀνακύψαι. καὶ γὰρ τὸ κεινόμενον ποιοῦσι κύφειν.

E Gerardvs. Τύμπανα,] à τύπτω hoc nomē fit, sunt ligna quibus sontes olim cædebantur, vnde est τυμπανίζω, fortiter & validè percutio. Κύφωνες] à κύπτω, inclino manauit: vincula erant lignea quibus colla maleficorum sic constringebantur, vt caput surrigere nō possent. Pœna hæc κυφωνισμὸς appellatur. Ait Blepsidemus Peniam dignam esse quæ tympanis & cyphonibus coërceatur. ἀρήξετε. Prosopopœia, non opem feretis? in cruciatum Penię non adhibebimini? Μάθῃς,] F subiunctiuum à μανθάνω. Ἰού.] oxytonum, aduerbium est indignantis, οἴμοι, heu cum exclamatione effertur. Circumflexum ἰοῦ huic est cōtrarium, exultantis enim est.

Σχόλια. Τί δῆτά σοι τίμημα.] ἐπέβαλλον γὰρ ἐνίοτε ζημίαν τοῖς ἁλοῦσιν ἢ χρήματα καταθέσθαι, ἤ τι τοιοῦτον. τῇ δίκῃ δὲ τιμωρίᾳ. εἰθισμένον γὰρ τὸ τῆς ἥττης ἤδη πρόστιμον, ὁριζούμενον ὑπὸ τῶν κρινομένων. Τῇ δίκῃ.] ἤγουν τῇ κρίσει ἢ τῇ ὀφειλομένῃ σοι τιμωρίᾳ. ἤγουν ἐπειδὴ ὀφειλόμενόν ἐστι δίκην δοῦναί σε ἐὰν ἡττηθῇς, τίνα G κόλασιν ὑπόσχῃς. ἔθος δὲ ἦν πάλαι τοῖς δικαζομένοις γράφειν πρὸ τῆς κρίσεως ὡς τιμωρίαν ἡττηθεὶς δοίη, εἶτα δὲ ἐπιγράφειν, τουτέστιν ἐπὶ τῇ προτέρᾳ γραφῇ καὶ τοῦτο γράφειν ὡς καὶ τοιάνδε τιμωρίαν ἢ βίου τυχὸν ἀφαίρεσιν ἢ κεφαλῆς.

Gerardvs. Ἐπιγράψω.] Præter pœnam quæ in sententia iudicis erat aduersus damnatū, erat quandoque & altera, quæ à litigantibus statuebatur, quam qui statuebat, dicebatur τίμημα ἐπιγράφειν, ἢ τιθέναι, mulctam irrogare, pœnam D inscribere, & statuere. Ἁλῷς,] ἁλίσκω, verbum actiuæ vocis passiuam habet significationē: quasi ab ἅλωμι format indefinitum β, ἥλων ἥλως, vnde fit subiunctiuum temporis eiusdem ἅλω, ἅλως, quemadmodum fit à δίδωμι δῶ, δῷς.

Σχόλια. Τὸ γὰρ αὐτὸ ἐὰν ἡττᾶσθε,] ἀντὶ τοῦ, τὴν αὐτὴν προστιμίαν. τοῦτο δὲ θέλει εἰπεῖν ὅτι ὅπερ ὁρίσητε πρόστιμον ἐὰν ἡττηθῶ, τοῦτο ὁριστέον ὑμῶν ἡττημένων. Ἱκανοὺς νομίζεις.] ἀντὶ τοῦ ἀρκοῦντας. ὁ γὰρ ἱκανῶν ὁ ἐστι E παραγινόμενος ἤρκεσε πρὸς τὴν ὁδόν. Ἀποχρήσουσι.] ἀπόχρη ἐπὶ ἐνεστῶτος ἀντὶ τοῦ ἀρκετόν ἐστι, καὶ ἀποχρῶσα δίκη ἐπὶ θηλυκοῦ, ἀντὶ τοῦ ἀρκετὴ ὑπάρχει, καὶ ἐπὶ μέλλοντος ἀποχρήσει ἀντὶ τοῦ ἀρκετὸν γενήσεται.

Gerardvs. Τὸ γὰρ αὐτό. ſ. τίμημα, τὴν αὐτὴν προστιμίαν. ἡττᾶσθε ab ἡττάομαι subiunctiuū. ταύτῃ, huic Peniæ. ſ. εἴκοσι θάνατοι ἔσονται ἱκανοί. νῷν, dualis datiuus, ἡμῖν. δύ' δύο μόνω, duæ solæ mortes. ἀποχρήσουσι Ab ἀπὸ & χρῆμι fit compositum F ἀπόχρημι, cuius futurum est ἀποχρήσω, à themate ἀποχράω.

Σχόλια. Τοῦτο πράττοντες.] ἀντὶ τοῦ ἀποθανόντες. ἢ ἂν φησιν ἀναβαλοίσθε ἀποθανόντες. ἀντὶ τοῦ ταχέως ἀπελθόντες τελευτήσετε, οὐκέτι δίκαιόν ἐστι. ἄλλως. ἢ ἂν μέ φησι νικήσετε. ἐὰν δὲ νικήσητε οὐχ ὑπάρχει δίκαιον.

Gerardvs. Τοῦτο πράττοντε, hoc agentes, tam friuola & inania dictitantes. ἢ τί γ'. Ambigua est hæc lectio, cum interrogatione constabit hoc sensu: Alioqui enim quid iuris, aut causæ quis posthac aduersus vos dicat? Sine interrogatione sic: Alioqui sanè posset quis posthac semper mihi huiusmodi nescio quod ius obiectare. Vtrouis modo accipias, alterum ἂν quod cum ἔχοι iungetur, erit δυνητικόν. Alterum verò παραπληρωματικόν.

ΔΡΑΜΑ-